eul_wid: fci-ae

*Ὑπερείδης ὁ ῥήτωρ* · Hypereides the Orator

# Against Philippides

*Κατὰ Φιλιππίδου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

Lyc t 1 [ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΛΥΚΟΦΡΟΝΟΣ.] [καὶ ἰδίᾳ] ἕκαστος καὶ κοινῇ], ἔπειτα τῶι νόμω]ι καὶ τῶι ὅρκωι, ὃς κελεύει] ὑμᾶς ὁμοίως ἀκούειν] τῶν τε κατηγόρων καὶ τῶ]ν ἀπολογουμένων] καὶ (desunt v.

Lyc 1 41 XXI?) .

Lyc 2 42 .......... εου (desunt v. IV) ........... σω .......... αιεν ............ ν (desunt v. XX?) τῆι κατηγορίαι χρῆ σθαι, οὕτω καὶ ἐμὲ ἐᾶτε ὃν τρόπον προήρημαι καὶ ὡς ἂν δύνωμαι ἀπολογεῖ σθαι· καὶ μηδεὶς ὑμῶν ἀπαντάτω μοι μετα ξὺ λέγοντι· „τί τοῦθ' ἡμῖν λέγεισ"; μηδὲ προστίθετε τῆι κατ[ηγορίαι παρ' ὑμῶν αὐτῶν μηδέν, ἀλλὰ μᾶ]λλον τῆι ἀπολογίᾳ.

Lyc 2 43 .. μεν ...... ικ ....... (desunt v. XIV?) (desunt v.

Lyc 3 44 X?) οὐδ]ὲ ὁ νόμος σ[υ]γκατηγο]ρεῖ 〈ν〉 μὲν τῶι βουλομ]ένωι κατὰ τῶν κριν]ομένων ἐξουσίαν] δίδωσι, συναπο λογεῖσθαι δὲ κωλύει. ἵνα δὲ μὴ π[ρ]ὸ τοῦ πράγματος πο[λλ]ο[ὺς λόγους ἀναλ[ώσω, ἐπ' αὐτὴν τὴν [ἀπολο γ]ίαν πορεύσομαι, τοῖς μὲν θεοῖς εὐξάμενος βοηθῆσαί μοι καὶ σῶσαι ἐ[κ] τοῦ παρόντος ἀγῶνος, ὑμᾶς δὲ ὦ ἄνδρες δικασταὶ ἐκεῖνο παραιτ]ησάμενος, πρῶτ[ο]ν (desunt v.

Lyc 3 45 XXI?) ε ............. δ ............. κε ............ τω ........... αυ ............ κρο ........... ἢ νεωρίων προδοσίαν ἢ ἀρχαίων ἐμπυρισμὸν ἢ κατάληψιν ἄκρας (desunt v.

Lyc 4 46 XV?) ........... ὁ Εὔφημος] .... πρ[ῶτον ..... ἐπε]ιδὴ ἐτελεύτησεν ἐκ]εῖνος ........ ρος ὁ Φλυεὺς] ..... ἐξ αὐτοῦ ....... κραν τοῦ ........ καὶ ἠξίουν] ......... ννε .......... ες εγ.......... σειν .......... ε]ξελ .. .......... α το[ῦ .

Lyc 4 47 .... ὅτι ἡ γυν[ὴ .. ..... τον καὶ το[ .. ... το ἐκεῖνος [κυοῦ]σαν τὴν γυνα[ῖκα ἐξ] αὐτοῦ καταλέ[λοιπε]ν, οὐ παρὰ τοὺς ν[όμο]υς γενόμενον. [εἰ δ', ὥσ]περ Ἀρίστων ἐ[ν τῆι ε]ἰσαγγελίαι γράφει], οὕτως ὑπέλαβον τ]ὰ περὶ το[ύτων εἶν]αι, οὐκ ἔδει δήπ[ου αὐτ]οὺς κωλύειν [τοὺς ἐγγυ]τάτω γένου[ς ἐξά]γειν τὸν Εὔφ[η μον, ἀλλ' ἐᾶν. νῦν δὲ τοῦτο ποιήσαντες ἔργῳ μεμαρτυρήκασιν αὐτοί, ὡς ψευδής ἐστιν ἡ αἰτία κα τ' ἐμοῦ. πρὸς δὲ τού τοις πῶς οὐκ ἄτοπον, εἰ μέν τι ἔπαθεν τὸ παιδίον ἢ γιγνόμενον ἢ καὶ ὕστερον, ταύταις ταῖς διαθήκαις ἰσχυρίζεσθαι ἂν αὐτούς, ἐν αἷς (desunt v.

Lyc 4 48 XX?) κα ............. τὸν Εὔφη[μον .... ἐ κώλυε ε ........ τοντ ....... [παρέχοντα ....... [μαρτυρίας α ........ τερων .......... σκε ........... — — — οὔτε γὰρ τὴν ἑαυτοῦ χεῖρα δυνατὸν ἀρνήσασθαι. — — —

νωθρεύεσθαι — — — —ντην —ταερω —διατι —ααυ —αιου —ημεν —υεις —νου —γ]υναικὸς] —ουν —με —εως —μης —δε —ου —ἑώρ ω —δε —ων —σις —μενος —ιως —νη —ἄνδ]ρες δικασταὶ] —υσιος —υνφι —στο —ος .

Lyc Ar 1 ......... Ἀρίστωνος δὲ ἀνδ[ράποδα εἶχεν ἐν το[ῖς ἔργοις· καὶ ταῦτα α[ὐτὸς ὑμῖν ἐμαρτύ[ρησεν ἐπὶ τοῦ δικασ[τηρίου, ὅτ’ ἦν τού[τ]ωι ὁ ἀγὼν πρὸς Ἀ[ρχεστρατίδην.

Lyc Ar 2 τοιο[ῦτο γάρ ἐστι τὸ Ἀρίστ[ωνος τουτουῒ πρᾶγμα· [οὗτος προσκαλεῖτα[ι μὲν περιὼν πά[ν τας ἀνθρώπους, τῶν δ’ ὅσοι μὲν [ἂν μὴ διδῶσιν αὐ[τῶι ἀργύριον, κρίν[ει καὶ κατηγορεῖ, ὁπ[όσοι δ’ ἂν ἐθέλωσιν [ἀποτίνειν, ἀφίησιν, [τὸ δ’ ἀργύριον Θεο[μνή στῳ δίδωσιν· ἐκ[εῖνος δὲ λαμβάνω[ν ἀνδράποδα ἀγοράζει, καὶ παρέχει ὥσπερ τοῖς λησταῖς ἐ πισιτισμόν, καὶ δίδωσι τούτωι ὑπὲρ ἑκάστου τοῦ ἀνδραπόδου ὀβολὸν τῆς ἡμέρας, ὅπως ἂν ᾖ ἀθάνατος συκοφάντης.

Lyc Ar 3 Ἄξιον δ’ ἐστὶν ὦ ἄνδρες δικασταὶ κἀκεῖθεν ἐξετάσαι τὸ πρᾶγμα, ἀφ’ ὧν ἐν τῶι δήμωι τὸ πρῶτον αὐ τοὶ εὐθὺς ᾐτιάσαντο· ἐμοὶ γὰρ 〈οἱ〉 οἰκε[ῖ]οι ἀπέστειλαν γράψαντες τήν τε εἰσαγ[γ]ελίαν καὶ τὰς αἰτίας, ἃς ἐν τῇ ἐκκλησίᾳ ᾐτιάσαντό με, ὅτε τὴν εἰσαγγελί[αν] ἐδίδοσ[α]ν, ἐν α[ἷς ἦ]ν γεγρα[μ]μένον, ὅτι Λυκο[ῦ]ργος λέγ[ει], φάσκω[ν τ]ῶν ο]ἰκ[είω]ν ἀκ[ηκ]οέναι, ὡ]ς ἐγὼ παρακολουθῶν, ὅτε Χάριππος ἐγάμει τὴν γυναῖκα, παρεκελευόμην αὐτῆι, ὅπως μὴ πλησιάσῃ Χαρίππωι, ἀλ λὰ διαφυλάξει αὑτήν. ἐγὼ δὲ ἃ καὶ πρὸς τοὺς ἐπιτηδείου[ς καὶ πρὸς τοὺς ο[ἰκείους τοὺς ἐμαυτ[οῦ εὐθὺς ἥκων ἔλεγ[ον, κ]αὶ νῦν πρὸς ὑμ[ᾶς λέ]γω, ὅτι, εἰ ἔστιν τ[αῦ]τα ἀληθῆ, ὁμολ[ογ]ῶ καὶ τἆλλα πάν[τα π]εποιηκέναι τὰ [ἐν τῆι εἰσαγγελίᾳ γε[γραμ μένα· ὅτι δὲ [ψεύδη ἐστίν, ῥάιδιον [οἶμαι εἶναι ἅπασι[ν ἰδεῖν· τίς γὰρ οὕτω[ς ἐστὶν τῶν ἐν τῆι π[όλει ἀλόγιστος, ὅσ[τις ἂν πιστεύσαι τού[τοις τοῖς λόγοις; ἀνάγ[κη γὰρ ὦ ἄνδρες δικ[ασταὶ πρῶτον μὲν ὀρεωκόμον καὶ προηγητὴν ἀκολουθε[ῖν τῷ ζεύγει, ὃ ἦγεν τὴν γυναῖκα, ἔπ[ε]ιτα δὲ παῖδας τοὺς προπέμποντας αὐτὴν ἀκολουθεῖν καὶ Διώξιππον· καὶ γὰρ οὗτος ἠκολούθει διὰ τὸ χή ραν ἐγδίδοσθαι αὐτήν.

Lyc Ar 5 εἶτ’ ἐγὼ εἰς τοῦτο ἀπονοίας ἦλθον, ὥστε ἄλλων τε τοσούτων ἀνθρώπων συνακολουθούντων καὶ Διωξίππου καὶ Εὐφραίου τοῦ προσγυμναστοῦ αὐτοῦ, οἳ τῶν Ἑλλήνων ὁμολογουμένως ἰσχυρότατοί εἰσιν, οὔ[τ]’ ᾐσχυνόμην τοιούτους λόγους λέγων περὶ γυναικὸς ἐλευθέρας πάντων ἀκουόντων, οὔτ’] ἐδεδίειν μὴ παραχρ]ῆμα ἀπόλωμαι πνι]γόμενος; τίς γὰρ] ἂν ἠνέσχετο τοι]αῦτα περὶ τῆς αὑτοῦ ἀδελφ[ῆς ἀκού]ων οἷά με ο[ὗτοι αἰτι]ῶνται εἰρηκ[έναι καὶ οὐκ ἂν ἀπέ[κτεινε τὸν λέγοντα; [καὶ τὸ κεφ]άλαιον ἁπ[άντων, ὡ]ς καὶ μικρῶ[ι πρότερο]ν εἶπον, εἰς [τοῦτο ἀν]αισθησίας ὁ Χ[άριππ]ος, ὡς ἔοικεν, [ἦλθ]εν, ὥστε πρότ[ερον] μέν, ὡς φασίν, [τῆς γυν]αικὸς προλε[γούσης], ὅτι συνομωμο[κυῖα εἰ]η πρὸς ἐμέ, πά[λιν δ]ὲ ἀκούων ἐμο[ῦ παρακελευομένο[υ αὐτῆι, ὅπως ἐμμ[είνειεν τοῖς ὅρκοις οἷ[ς ὤμοσεν, ἐλάμβανε [τὴν] γυναῖκα; καὶ ταῦ[τα δοκεῖ ἂν ὑμῖν ἢ [Ὀρέστη]ς ἐκεῖνος ὁ μαιν[όμενος ποιῆσαι [ἢ Μαργίτης ὁ πάντ[ων ἀβελτερώτατος; [Ἀλλ’ οἶμαι ὦ ἄνδρε[ς δικασταὶ πολλὰ πλεονεκτοῦσιν ἐν τοῖς ἀγῶσιν οἱ κατήγοροι τῶν φευγόντων· οἱ μὲν γὰρ διὰ τὸ ἀκίνδυνον αὐτοῖς εἶναι τὸν ἀγῶνα ῥαιδίως ὅ τι ἂν βούλωνται λέγουσι καὶ καταψεύδονται, οἱ δὲ κρινόμενοι διὰ τὸν φόβον πολλὰ καὶ τῶν πεπραγμένων αὑτοῖς εἰπεῖν ἐπιλανθά νονται· ἔπειτα οἱ μὲν ἐπειδὰν πρότερον λόγον λάβωσιν, οὐ μόνον ἃ ἔχουσιν αὐτοὶ δίκαια περὶ τοῦ πράγματος λέγουσιν, ἀλλὰ συσκευάσαντες λοιδορίας ψευδεῖς κατὰ τῶν κρινομένων ἐξιστᾶσιν τῆς ἀπολο γίας, ὥστε συμβαίνειν αὐτοῖς δυοῖν τὸ ἕτερον, ἢ περὶ τῶν ἔξωθεν διαβολῶν ἀπο[λογου]μένοις τῆς [περὶ το]ῦ πράγματος ἀ[πολογία]ς ἀπο λελ[εῖφθαι, ἢ] μὴ μεμνη[μένοις] τῶν προκ[ατηγορηθ]έντων ο[ἴησι]ν καταλείπ[ειν παρ]ὰ τοῖς δικαστ[αῖς, ὅτι] ἀληθῆ ἐστιν [τὰ εἰρ]ημένα· πρὸς δ[ὲ τού]τοις τούς τε μέ[λλοντα]ς βοηθεῖν το[ῖς φε]ύγουσι προδιαβ[άλλ]ουσι καὶ αὐτοῦ το[ῦ κριν]ομένου τὴν [ἀπολο]γίαν διαστρ[έφουσιν]· οἷον καὶ Ἀ[ρίστων] οὑτοσὶ ἐνεχεί[ρησε ποιῆ]σαι ἐν τῇ κα[τηγορίᾳ, ὃς] οὐδ’ ἀπολ[αύειν δίδωσι τῶν ἀ[ναβαινόντων ὑπὲ[ρ ἐμοῦ καὶ συναπολ[ογησομέ νων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Lyc Ar 8 δι[ὰ τί δ’ οὗτοι μὴ ἀπο[λογήσονται; πότερ’ οὐ δ[ίκαιόν ἐστι τοῖς κρινομένοις τοὺς οἰκείους καὶ τοὺς φίλους βο ηθεῖν; ἢ ἔστιν τι τῶν ἐν τῆι πόλει τούτου δημοτικώτερον, τοῦ τοὺς δυναμένους εἰπεῖν τοῖς ἀδυνάτοις τῶν πολιτῶν κινδυνεύουσι βοηθεῖν; σὺ δὲ οὐ μόνον περὶ τῶν συνηγόρων τοὺς λόγους πεποίησαι, ἀλλὰ καὶ τὴν ἀπολογίαν τὴν ἐμὴν διατάττεις, καὶ παραγγέλλεις τοῖς δικασταῖς περὶ ὧν δεῖ αὐτοὺς ἀκούειν 〈καὶ〉 κελεύειν με ἀπολογεῖσθαι, καὶ περὶ ὧν μὴ ἐᾶν λέγειν.

Lyc Ar 9 καὶ τοῦτο πῶς καλῶς ἔχει, σὲ μὲν ὅπως ἠβούλου τὴν κατηγορίαν ποιήσασθαι, προειδότα δὲ ἃ ἔχω ἐγὼ δίκαια λέγειν πρὸς τὰ παρὰ σοῦ ἐψευσμένα ὑφαιρεῖσθαί μου τὴν ἀπολογίαν; καὶ ἐμὲ μὲν αἰτιᾶι ἐν τῆι εἰσαγγελίᾳ καταλύειν τὸν δῆμον παραβαί ν[ον]τα τοὺς νόμους, αὐ[τὸς] δ’ ὑπερπηδήσ[ας ἅπ]αντας τοὺς ν[όμο]υς εἰσαγγελία[ν δέδ]ωκας ὑπὲρ ὧν [γρα]φαὶ πρὸς τοὺς θεσ[μοθ]έτας ἐκ τῶν νό[μων] εἰσίν, ἵνα π[ρῶτον μ]ὲν ἀκίνδ[υνος εἰσ]ίῃς εἰς τὸ[ν ἀγῶνα,] ἔπε[ιτ]α ἐξ[ῆι σοι τραγ]ῳδίας γρ[άψαι εἰς τὴ]ν εἰσαγγελ[ίαν οἵασ]περ νῦν γέγρ[αφας, ὅς μ’ α]ἰτιᾶι ὅτι [πολλὰς μὲν γ]υνα[ῖκας ποιῶ] ἀγάμ[ους ἔνδον κα]ταγηρ[άσκειν, πολλ]ὰς δὲ σ[υνοικεῖν ο]ἷς οὐ προσήκει παρὰ τοὺς νόμους.

Lyc Ar 11 οὐκοῦν ἄλλην μὲν οὐδεμίαν τῶν ἐν τῇ πόλει γυναῖκα ἔχεις εἰπεῖν, ᾗτινι ἐγὼ τούτων αἴτιός εἰμι, περὶ ἧς δὲ νῦν τὴν κατηγορίαν πεποίησαι, πότερα ᾤου προσήκειν συνοικεῖν ἐγδεδομένην Χαρίππῳ, ἑνὶ τῶν πολιτῶν, ἢ ἀνέγδοτον ἔνδον καταγηράσκειν, ἣ εὐθὺς ἐξεδόθη τάλαντον ἀργυρίου προσθέντος αὐτῆι Εὐφήμου, δῆλον ὅτι οὐ διὰ πονηρίαν, ἀλλὰ δι’ ἐπιείκειαν; Τούτῳ μὲν οὖν ἔξεστιν ἄνδρες δικασταὶ καὶ λέγειν ὅ τι ἂν βούληται καὶ καταψεύδεσθαι, ὑμᾶς δ’ οἶμαι δεῖν οὐκ ἐκ τῶν τοῦ κατηγόρου διαβολῶν περὶ ἐμοῦ δικάζειν, ἀλλ’ ἐξ ἅπαντος τοῦ βίου ὃν βεβίωκα ἐξετάσαντας· λαθεῖν γὰρ τὸ πλῆθος τὸ ὑμέτερον οὐκ ἔνι οὔτε πονηρὸν ὄντα οὐδένα τῶν ἐν τῇ πόλει οὔτε ἐπιεικῆ, ἀλλ’ ὁ παρεληλυθὼς χρόνος μάρτυς ἐστὶν ἑκάστωι τοῦ τρόπου ἀκριβέστατος, ἄλλως τε δὴ καὶ περὶ τούτων τ]ῶν αἰτιῶν οἵα αὕτη ἐστ]ίν.

Lyc Ar 12 ὅσα μὲν γὰρ τῶ]ν ἀδικημάτων ἐν ἁ]πάσηι τ 〈ῆι〉 ἡλικίαι τῇ το]ῦ ἀνθρώπου ἐνδέ]χεται ἀδικῆσαι, τα]ῦτα μὲν δεῖ σκοπεῖ]ν ἀπ’ αὐτοῦ τοῦ ἐγκλή]ματος οὗ ἂν ἔχηι τις· μο]ιχεύειν δ’ οὐκ ἐνδέ]χεται ἀπὸ πεντήκο]ντα ἐτῶν ἀρξάμενον], ἀλλ’ ἢ πάλαι τοιοῦ]τός ἐστιν, ὃ δειξάτωσαν οὗτοι, ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸς εἶναι.

Lyc Ar 13 ἐγὼ τοίνυν ὦ ἄνδρες δικασταὶ μεθ’ ὑμῶν διατρίβων ἐν τῇ πόλει τὸν ἅπαντα χρόνον οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν πώποτ’ ἔλαβον, οὔτ’ ἔγκλημά μοι πρὸς οὐδένα τῶν πολιτῶν γέγονεν, οὐδὲ πέφευγα δίκην οὐδεμίαν, οὐδ’ ἕτερον δεδίωχα, ἱπποτροφῶν δὲ διατετέλεκα φιλοτ[ίμως τὸν ἅπαντα χρόνον παρὰ δύναμιν καὶ ὑπὲρ τὴν οὐσίαν τὴν ἐμαυτοῦ· ἐστεφάνωμαι δ’ ὑπό τε τῶν ἱππέων πάντων ἀνδραγαθίας ἕνεκα καὶ ὑπὸ τῶν συναρχόντων. ὑμεῖς γάρ με ὦ ἄνδρες δικασταὶ πρῶτον μὲν φύλαρχον ἐχειροτονήσατε, ἔπειτα εἰς Λῆμνον ἵππαρχον, καὶ ἦρξα μὲν αὐτόθι δύ’ ἔτη τῶν πώποθ’ ἱππαρχηκότων μόνος, προσκατέμεινα δὲ αὐτόθι τὸν τρίτον ἐνιαυτόν, οὐ βουλόμενος πολίτας ἄνδρας ἐπὶ κεφαλὴν εἰσπράττειν τὸν μισθὸν τοῖς ἱππεῦσιν ἀπόρως διακειμέ νους.

Lyc Ar 14 καὶ ἐν τούτωι μοι τῶι χρόνωι ἔγκλημα μὲν οὐδεὶς τῶν ἐκεῖ ἐνεκάλεσεν οὔτε ἰδίᾳ οὔτε δη μοσίᾳ, στεφάνοις δὲ τρισὶν ἐστεφανώθην ὑπὸ τοῦ δ[ήμ]ου τοῦ ἐν Ἡφαισ[τί]αι καὶ ἑτέροις ὑ[πὸ] τοῦ ἐν Μυ ⟦ ρ ⟧ ρίνηι· ἃ [χρ]ὴ τεκμήρια ὑμῖν ε[ἶν]αι εἰς τοῦτον τὸν ἀγῶνα, ὡς ψευδεῖς κατ’ ἐμοῦ 〈αἱ〉 αἰτίαι εἰσίν· οὐ γὰρ οἷόν τε τὸν Ἀθήνησι πονηρὸν ἐν Λήμνῳ χρηστὸν εἶναι, οὐδ’ ὑμεῖς ὡς τοιοῦτον ὄντα με ἀπεστέλλετε ἐκεῖσε, παρακατατιθέμενοι δύο πόλεις τῶν ὑμετέρων αὐτῶν.

Lyc Ar 15 Ὅσα μὲν οὖν ἐγὼ εἶχον ὦ ἄνδρες δικασταὶ ὑπὲρ ἐμαυτοῦ εἰπεῖν, σχεδὸν ἀκηκόατε· ἐπ[ει]δὴ δὲ ὁ κατήγορ[ο]ς οὐκ ἀπείρως ἔχων τοῦ λέγειν, εἰωθὼς δὲ πολλάκις ἀγωνίζεσθαι, ἐκάλει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνηγόρους τοὺς συναπολοῦντάς τινα τῶν πολιτῶν ἀδίκως, δέομαι ὑμῶν καὶ ἐγὼ καὶ ἀντιβολῶ κελεῦσαι κἀμὲ καλέσαι τοὺς συνεροῦντας ἐμοὶ ὑπὲρ τηλικού του ἀγῶνος καὶ ἀκοῦσαι εὐνοϊκῶς, εἴ τίς μοι ἔχει τῶν οἰκείων ἢ τῶν φίλων βοηθῆσαι, πολίτηι μὲν ὄντι ὑμετέρωι, ἰδιώτηι δὲ καὶ οὐκ εἰ ωθότι λέγειν, ἀγωνιζομένῳ δὲ καὶ κινδυνεύοντι οὐ μόνον περὶ θανάτου, (ἐλάχιστον γὰρ τοῦτό ἐστιν τοῖς ὀρθῶς λογιζομένοις) ἀλλ’ ὑπὲρ τοῦ ἐξορισθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν τῆι πατρί δι ταφῆναι.

Lyc Ar 16 ἐὰν οὖν κελεύητε ὦ ἄνδρες δικασταί, καλῶ τινα βοηθήσοντα. ἀνάβηθί μοι Θεόφιλε καὶ σύνειπε ὅ τι ἔχεις· κελεύουσιν οἱ δικασταί. Ἀπολογία ὑπὲρ Λυκόφρονος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org